‘ὁ καπνὸς αὐτῆς ἀναβαίνει εἰς τοὺς αἰῶνας τῶν αἰώνων’.” 4Καὶ
ἔπεσαν οἱ πρεσβύτεροι οἱ εἴκοσι τέσσαρες, καὶ τὰ τέσσαρα ζῷα,
καὶ προσεκύνησαν τῷ ˚Θεῷ, τῷ καθημένῳ ἐπὶ τῷ θρόνῳ λέγοντες,
“Ἀμήν! Ἀλληλουϊά!”

5Καὶ φωνὴ ἀπὸ τοῦ θρόνου ἐξῆλθεν λέγουσα, “Αἰνεῖτε τῷ ˚Θεῷ
ἡμῶν, πάντες οἱ δοῦλοι αὐτοῦ, οἱ φοβούμενοι αὐτόν, οἱ μικροὶ καὶ
οἱ μεγάλοι!” 6Καὶ ἤκουσα ὡς φωνὴν ὄχλου πολλοῦ, καὶ ⸢ὡς⸣
φωνὴν ὑδάτων πολλῶν, καὶ ὡς φωνὴν βροντῶν ἰσχυρῶν λεγόντων,
“Ἀλληλουϊά, ὅτι ἐβασίλευσεν ⸢˚Κύριος, ὁ ˚Θεὸς⸣ ⸢ἡμῶν⸣ ὁ
Παντοκράτωρ. 7Χαίρωμεν καὶ ἀγαλλιῶμεν, καὶ ⸢δῶμεν⸣ τὴν δόξαν
⸢αὐτῷ,⸣ ὅτι ἦλθεν ὁ γάμος τοῦ Ἀρνίου, καὶ ἡ γυνὴ αὐτοῦ
ἡτοίμασεν ἑαυτήν.” 8Καὶ ἐδόθη αὐτῇ, ἵνα περιβάληται βύσσινον
λαμπρὸν καθαρόν, τὸ γὰρ βύσσινον τὰ δικαιώματα τῶν ἁγίων
ἐστίν.

9Καὶ λέγει μοι, “Γράψον, ‘Μακάριοι οἱ εἰς τὸ δεῖπνον ⸢τοῦ γάμου⸣
τοῦ Ἀρνίου κεκλημένοι.’” ⸢Καὶ λέγει μοι, “Οὗτοι οἱ λόγοι⸣
ἀληθινοὶ τοῦ ˚Θεοῦ εἰσιν.” 10Καὶ ἔπεσα ἔμπροσθεν τῶν ποδῶν
αὐτοῦ προσκυνῆσαι αὐτῷ. Καὶ λέγει μοι, “Ὅρα μή· σύνδουλός
σού εἰμι, καὶ τῶν ἀδελφῶν ⸢σου⸣ τῶν ἐχόντων τὴν μαρτυρίαν
˚Ἰησοῦ· τῷ ˚Θεῷ προσκύνησον. Ἡ γὰρ μαρτυρία ˚Ἰησοῦ ἐστιν τὸ
πνεῦμα τῆς προφητείας.”

11Καὶ εἶδον τὸν οὐρανὸν ἠνεῳγμένον, καὶ ἰδού, ἵππος λευκός, καὶ
ὁ καθήμενος ἐπ’ αὐτὸν, ⸢Πιστὸς καλούμενος⸣ καὶ Ἀληθινός, καὶ ἐν
δικαιοσύνῃ κρίνει καὶ πολεμεῖ. 12Οἱ δὲ ὀφθαλμοὶ αὐτοῦ ⸢⸣ φλὸξ
πυρός, καὶ ἐπὶ τὴν κεφαλὴν αὐτοῦ διαδήματα πολλά, ἔχων ὄνομα
⸢γεγραμμένον, ὃ οὐδεὶς⸣ οἶδεν, εἰ μὴ αὐτός, 13καὶ περιβεβλημένος
ἱμάτιον ⸢βεβαμμένον⸣ αἵματι, καὶ ⸢κέκληται τὸ⸣ ὄνομα αὐτοῦ, ὁ
Λόγος τοῦ ˚Θεοῦ. 14Καὶ τὰ στρατεύματα ἐν τῷ οὐρανῷ ἠκολούθει
αὐτῷ ἐφ’ ἵπποις λευκοῖς, ⸢ἐνδεδυμένοι⸣ βύσσινον λευκὸν καθαρόν.
15Καὶ ἐκ τοῦ στόματος αὐτοῦ ἐκπορεύεται ῥομφαία ὀξεῖα, ἵνα ἐν

⌈κυριοσ ο θεοσ 02 | ο θεοσ ο κυριοσ 01⌉ ⌈ημων 01 | - 02⌉ [7]⌈δωμεν 01 | δωσομεν 02⌉ ⌈αυτω 02 | αυτων 01⌉ [9]⌈του γαμου 02 | - 01⌉ ⌈και λεγει μοι ουτοι οι λογοι 02 | ουτοι οι λογοι μου 01⌉ [10]⌈σου 02 | - 01⌉ [11]⌈πιστοσ καλουμενοσ 01 | πιστοσ 02⌉ [12]⌈- 01 | ωσ 02⌉ ⌈γεγραμμενον ο ουδεισ 02 | - 01⌉ [13]⌈βεβαμμενον 02 | περιρεραμμενον 01⌉ ⌈κεκληται το 02 | κεκλητο 01⌉ [14]⌈ενδεδυμενοι 02 | ενδεδυμενοισ 01⌉

ὁ καπνὸς αὐτῆς ἀναβαίνει εἰς τοὺς αἰῶνας τῶν αἰώνων.” 4Καὶ
ἔπεσαν οἱ πρεσβύτεροι οἱ εἴκοσι τέσσαρες, καὶ τὰ τέσσαρα ζῷα,
καὶ προσεκύνησαν τῷ ˚Θεῷ, τῷ καθημένῳ ἐπὶ τῷ θρόνῳ λέγοντες,
“Ἀμήν! Ἀλληλουϊά!”

5Καὶ φωνὴ ἀπὸ τοῦ θρόνου ἐξῆλθεν λέγουσα, “Αἰνεῖτε τῷ ˚Θεῷ
ἡμῶν, πάντες οἱ δοῦλοι αὐτοῦ, οἱ φοβούμενοι αὐτόν, οἱ μικροὶ καὶ
οἱ μεγάλοι!” 6Καὶ ἤκουσα ὡς φωνὴν ὄχλου πολλοῦ, καὶ ⌜ὡς⌝
φωνὴν ὑδάτων πολλῶν, καὶ ὡς φωνὴν βροντῶν ἰσχυρῶν λεγόντων,
“Ἀλληλουϊά, ὅτι ἐβασίλευσεν ⌜˚Κύριος, ὁ ˚Θεὸς⌝ ⌜ἡμῶν⌝ ὁ
Παντοκράτωρ. 7Χαίρωμεν καὶ ἀγαλλιῶμεν, καὶ ⌜δῶμεν⌝ τὴν δόξαν
⌜αὐτῷ,⌝ ὅτι ἦλθεν ὁ γάμος τοῦ Ἀρνίου, καὶ ἡ γυνὴ αὐτοῦ
ἡτοίμασεν ἑαυτήν.” 8Καὶ ἐδόθη αὐτῇ, ἵνα περιβάληται βύσσινον
λαμπρὸν καθαρόν, τὸ γὰρ βύσσινον τὰ δικαιώματα τῶν ἁγίων
ἐστίν.

9Καὶ λέγει μοι, “Γράψον, ‘Μακάριοι οἱ εἰς τὸ δεῖπνον ⌜τοῦ γάμου⌝
τοῦ Ἀρνίου κεκλημένοι.’” ⌜Καὶ λέγει μοι, “Οὗτοι οἱ λόγοι⌝
ἀληθινοὶ τοῦ ˚Θεοῦ εἰσιν.” 10Καὶ ἔπεσα ἔμπροσθεν τῶν ποδῶν
αὐτοῦ προσκυνῆσαι αὐτῷ. Καὶ λέγει μοι, “Ὅρα μή· σύνδουλός
σού εἰμι, καὶ τῶν ἀδελφῶν ⌜σου⌝ τῶν ἐχόντων τὴν μαρτυρίαν
˚Ἰησοῦ· τῷ ˚Θεῷ προσκύνησον. Ἡ γὰρ μαρτυρία ˚Ἰησοῦ ἐστιν τὸ
πνεῦμα τῆς προφητείας.”

11Καὶ εἶδον τὸν οὐρανὸν ἠνεῳγμένον, καὶ ἰδού, ἵππος λευκός, καὶ
ὁ καθήμενος ἐπ’ αὐτὸν, ⌜Πιστὸς καλούμενος⌝ καὶ Ἀληθινός, καὶ ἐν
δικαιοσύνῃ κρίνει καὶ πολεμεῖ. 12Οἱ δὲ ὀφθαλμοὶ αὐτοῦ ⌜⌝ φλὸξ
πυρός, καὶ ἐπὶ τὴν κεφαλὴν αὐτοῦ διαδήματα πολλά, ἔχων ὄνομα
⌜γεγραμμένον, ὃ οὐδεὶς⌝ οἶδεν, εἰ μὴ αὐτός, 13καὶ περιβεβλημένος
ἱμάτιον ⌜βεβαμμένον⌝ αἵματι, καὶ ⌜κέκληται τὸ⌝ ὄνομα αὐτοῦ, ὁ
Λόγος τοῦ ˚Θεοῦ. 14Καὶ τὰ στρατεύματα ἐν τῷ οὐρανῷ ἠκολούθει
αὐτῷ ἐφ’ ἵπποις λευκοῖς, ⌜ἐνδεδυμένοι⌝ βύσσινον λευκὸν καθαρόν.
15Καὶ ἐκ τοῦ στόματος αὐτοῦ ἐκπορεύεται ῥομφαία ὀξεῖα, ἵνα ἐν
αὐτῇ ⌜πατάξῃ⌝ τὰ ἔθνη, “καὶ αὐτὸς ποιμανεῖ αὐτοὺς ἐν ῥάβδῳ
σιδηρᾷ·” καὶ αὐτὸς πατεῖ τὴν ληνὸν τοῦ οἴνου ⌜τοῦ θυμοῦ τῆς
ὀργῆς⌝ τοῦ ˚Θεοῦ τοῦ Παντοκράτορος. 16Καὶ ἔχει ⌜ἐπὶ τὸ ἱμάτιον
καὶ⌝ ⌜ἐπὶ⌝ τὸν μηρὸν αὐτοῦ, ὄνομα γεγραμμένον, “Βασιλεὺς
βασιλέων καὶ Κύριος κυρίων.”

⌈κυριοσ ο θεοσ 02 | ο θεοσ ο κυριοσ 01⌉ ⌈ημων 01 | - 02⌉ 7⌈δωμεν 01 | δωσομεν 02⌉ ⌈αυτω 02 | αυτων 01⌉ 9⌈του γαμου 02 | - 01⌉ ⌈και λεγει μοι ουτοι οι λογοι 02 | ουτοι οι λογοι μου 01⌉ 10⌈σου 02 | - 01⌉ 11⌈πιστοσ καλουμενοσ 01 | πιστοσ 02⌉ 12⌈- 01 | ωσ 02⌉ ⌈γεγραμμενον ο ουδεισ 02 | - 01⌉ 13⌈βεβαμμενον 02 | περιρεραμμενον 01⌉ ⌈κεκληται το 02 | κεκλητο 01⌉ 14⌈ενδεδυμενοι 02 | ενδεδυμενοισ 01⌉

15⌈παταξη 02 | παταξει 01⌉ ⌈του θυμου τησ οργησ 02 | τησ οργησ του θυμου 01⌉ 16⌈επι το ιματιον και 02 | - 01⌉ ⌈επι 02 | - 01⌉

αὐτῇ ⸢πατάξῃ⸣ τὰ ἔθνη, “καὶ αὐτὸς ποιμανεῖ αὐτοὺς ἐν ῥάβδῳ
σιδηρᾷ”· καὶ αὐτὸς πατεῖ τὴν ληνὸν τοῦ οἴνου ⸢τοῦ θυμοῦ τῆς
ὀργῆς⸣ τοῦ ˚Θεοῦ τοῦ Παντοκράτορος. 16Καὶ ἔχει ⸢ἐπὶ τὸ ἱμάτιον
καὶ⸣ ⸢ἐπὶ⸣ τὸν μηρὸν αὐτοῦ, ὄνομα γεγραμμένον, “Βασιλεὺς
βασιλέων καὶ ˚Κύριος κυρίων.”

[15]⌈παταξη 02 | παταξει 01⌉ ⌈του θυμου τησ οργησ 02 | τησ οργησ του θυμου 01⌉ [16]⌈επι το ιματιον και 01 | - 02⌉ ⌈επι 02 | - 01⌉